οὐκ ἔσχες ἄν ποτ᾽ οὔτε παγκλήρους δόμους
οὔτ᾽ ὄνομα πατρός. πῶς γάρ, οὗ γ᾽ ἐγὼ γάμους
ἔκρυπτον αὐτὴ καί σ᾽ ἀπέκτεινον λάθρᾳ;
ὃ δ᾽ ὠφελῶν σε προστίθησ᾽ ἄλλῳ πατρί.
ΙΩΝ. οὐχ ὧδε φαύλως αὔτ᾽ ἐγὼ μετέρχομαι,
ἀλλ᾽ ἱστορήσω Φοῖβον εἰσελθὼν δόμους,
εἴτ᾽ εἰμὶ θνητοῦ πατρὸς εἴτε Λοξίου.
ἔα· τίς οἴκων θυοδόκων ὑπερτελὴς
ἀντήλιον πρόσωπον ἐκφαίνει θεῶν;
φεύγωμεν, ὦ τεκοῦσα, μὴ τὰ δαιμόνων
ὁρῶμεν, εἰ μὴ καιρός ἐσθ᾽ ἡμᾶς ὁρᾶν.
ΑΘ. μὴ φεύγετ᾽· οὐ γὰρ πολεμίαν με φεύγετε,
ἀλλ᾽ ἔν τ᾽ Ἀθήναις κἀνθάδ᾽ οὖσαν εὐμενῆ.
ἐπώνυμος δὲ σῆς ἀφικόμην χθονός,
Παλλάς, δρόμῳ σπεύσασ᾽ Ἀπόλλωνος πάρα,
ὃς εἰς μὲν ὄψιν σφῷν μολεῖν οὐκ ἠξίου,
μὴ τῶν πάροιθε μέμψις εἰς μέσον μόλῃ,
ἡμᾶς δὲ πέμπει τοὺς λόγους ὑμῖν φράσαι,
ὡς ἥδε τίκτει σ᾽ ἐξ Ἀπόλλωνος πατρός,
δίδωσι δ᾽ οἷς ἔδωκεν, οὐ φύσασί σε,
ἀλλ᾽ ὡς νομίζῃς οἶκον εὐγενέστατον.
ἐπεὶ δ᾽ ἀνεῴχθη πρᾶγμα μηνυθὲν τόδε,
θανεῖν σε δείσας μητρὸς ἐκ βουλευμάτων
καὶ τήνδε πρὸς σοῦ, μηχαναῖς ἐρρύσατο.
ἔμελλε δ᾽ αὐτὰ διασιωπήσας ἄναξ
ἐν ταῖς Ἀθήναις γνωριεῖν ταύτην τε σήν,
σέ θ᾽ ὡς πέφυκας τῆσδε καὶ Φοίβου πατρός.
ἀλλ᾽ ὡς περαίνω πρᾶγμα καὶ χρησμοὺς θεῷ,
ἐφ᾽ οἷσιν ἔζευξ᾽ ἅρματ᾽, εἰσακούσατον.
λαβοῦσα τόνδε παῖδα Κεκροπίαν χθόνα
χώρει, Κρέουσα, κεἰς θρόνους τυραννικοὺς
ἵδρυσον· ἐκ γὰρ τῶν Ἐρεχθέως γεγὼς

1549. *θυοδόκων*] Piersonus, *θεοδότων* libri. 1556. *πολλάς B*
1561. *οὐ φύσασί σε*] Stephanus, *οὔ φασί σε* libri. 1562. *νομίζεις B*
1563. *ἀνεῴχθη*] Matthiae, *ἀνώχθη* libri. 1570. *ἐφ᾽ οἷσιν ἔζευξ᾽*] Scaliger, *ἐφ᾽ οἷς ἐζεύξασθ᾽* (*ἐζεύξαθ᾽ C*) libri.